Ἀριθμ. Πρωτ. 1112

Ἱερώτατε Μητροπολῖτα Βιννίτσης καί Μπάρ, ἐν Ἁγίῳ Πνεύματι ἀγαπητέ ἀδελφέ καί συλλειτουργέ τῆς ἡμῶν Μετριότητος κύριε Συμεών, χάρις εἴη τῇ ὑμετέρᾳ Ἱερότητι καί εἰρήνη παρά Θεοῦ.

Ἀναχθείσης τῆς ὑμετέρας πεφιλημένης Ἱερότητος τῇ ἡμῶν Μετριότητι καί ἀναθεσάσης τήν ἀρχιερατικήν αὐτῆς ὑπόστασιν ἡμῖν τῷ, ἐλέῳ Θεοῦ, Ἀρχιεπισκόπῳ Κωνσταντινουπόλεως-Νέας Ρώμης καί Οἰκουμενικῷ Πατριάρχῃ, οὐχί μόνον ὡς τῷ ὑπό τῆς ἐκκλησιαστικῆς προνοίας ἀδιαμφισβητήτως ἔχοντι τήν εὐθύνην τοῦ κρίνειν τάς ἑκασταχοῦ ἐκκλησιαστικάς ὑποθέσεις καί τέλος ὁριστικόν αὐταῖς διδόναι, ἀλλά καί ὡς τῷ κανονικῷ ὑμῶν πατρί καί Δεσπότῃ, καθ᾿ ὅτι ἡ ὑμετέρα Ἐπαρχία, ἀποκατασταθείσης τῆς ἔκπαλαι ἀτάκτου διεξαγωγῆς αὐτῆς ὑφ᾿ ἑτέρας ἐκκλησιαστικῆς δικαιοδοσίας καί μετά τήν ἀνάκλησιν καί ἄρσιν τοῦ Γράμματος Ἐκδόσεως τοῦ ἀοιδίμου Προκατόχου ἡμῶν Διονυσίου Δ', τυγχάνει ἔδαφος τῆς Μεγάλης ἐν Κωνσταντινουπόλει τοῦ Χριστοῦ Ἐκκλησίας, γνησία θυγάτηρ αὐτῆς γνωριζομένη, ἤχθημεν εἰς τήν ἀπόφασιν ἵνα ἐντάξωμεν ὑμᾶς, διά τῶνδε τῶν Πατριαρχικῶν ἡμῶν Γραμμάτων, εἰς τήν δικαιοδοσίαν τοῦ καθ᾿ ἡμᾶς Ἁγιωτάτου Ἀποστολικοῦ καί Πατριαρχικοῦ Οἰκουμενικοῦ Θρόνου μετά καί τοῦ περί ὑμᾶς εὐαγοῦς κλήρου καί τοῦ εὐσεβοῦς λαοῦ, ἀπαλλάσσοντες πάσης εὐθύνης ἤ βάρους ἤ ἑτέρας ὑφ᾿ οἱουδήποτε ἐκκλησιαστικοῦ ὀργάνου ἐπαχθοῦς πρός ὑμᾶς συμπεριφορᾶς ἤ τιμωρίας, ἀπολαμβάνοντας πλήρως πάντα τά ἐκ τῆς ἐπισκοπικῆς ὑμετέρας ποιμαντικῆς εὐθύνης.

Ἐπί δέ τούτοις καταστέφομεν ὑμᾶς διά τῆς πατρικῆς εὐχῆς καί τῆς Πατριαρχικῆς ἡμῶν εὐλογίας, ἀπονέμοντες ὑμῖν τόν ἀδελφικόν ἡμῶν ἀσπασμόν καί ἐπικαλούμενοι ὁλοθύμως ἐφ᾿ ὑμᾶς τήν χάριν καί τό ἔλεος τοῦ ἐν Τριάδι προσκυνουμένου Θεοῦ, Οὗ ἡ δόξα καί τό κράτος εἰς τούς αἰῶνας.

,βιη' Δεκεμβρίου ιδ'

ἀγαπητός ἐν Χριστῷ ἀδελφός